www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ

# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΠΟΝΤΩΙ ΑΓΙΩΝ,

(ὧν ἡ Σύναξις τῇ α' Κυριακῇ τοῦ Σεπτεμβρίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1999 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν στιχηρὰ δ΄ ἀναστάσιμα καὶ τῶν Ἁγίων τὰ ἀκόλουθα στ΄ στιχηρὰ προσόμοια.*
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὰ κάλλη,
ἐπιποθήσαντες,
οἱ Ἅγιοι τοῦ Πόντου,
τὸν σταυρὸν τοῦ Κυρίου,
ἀράμενοι ἐπ᾽ ὤμων,
χριστοπρεπῶς,
ἐπορεύθητε ἅπαντες,
Εὐαγγελίου φανέντες ἐκπληρωταί,
καὶ πιστῶν γνήσια πρότυπα.

Πρῶτος τὸν λόγον Κυρίου,
ἐν Πόντῳ ἔσπειρας,
Πρωτόκλητε Ἀνδρέα,
καὶ ἡλίευσας πλήθη,
σαγήνῃ τῇ ἁγίᾳ,
οὓς ἀληθεῖς,
τοῦ Δεσπότου ἀνέδειξας,
ἐκμιμητὰς καὶ εἰκόνας πνευματικάς,
ἅμα Πέτρῳ σῷ ὁμαίμονι.

Ἱεραρχῶν τὴν χορείαν,
δεῦτε ὑμνήσωμεν,
ποιμένων θεοψύχων,
Ἐκκλησίας τοῦ Πόντου·
ἐν γὰρ διδασκαλίαις τούτων καλῶς,

www.tezaurliturgic.ro



τὸν Χριστὸν κατεμάθομεν,
καὶ τῷ σταυρῷ σφραγισθέντες, τῆς ἀληθοῦς,
ποίμνης πρόβατα γεγόναμεν.

Τῶν ἀθλητῶν τοῦ Κυρίου,
τοῖς θείοις αἵμασιν,
ἡ πλάνη κατεσβέσθη,
τῶν εἰδώλων ἐν Πόντῳ,
καὶ ἥλιος ἐφάνη τριαδικῆς,
ἀληθείας ὁ ἔκλαμπρος,
οὗ ταῖς ἀκτῖσιν ἐγνώκαμεν καὶ ἡμεῖς,
Βασιλείας τὰ μυστήρια.

᾿Ασκητικῶν παλαισμάτων,
ἐπλήσθη ἅπασα,
ἡ ἔρημος τοῦ Πόντου,
καὶ ἐξέθρεψε πλήθη,
ἀνδρῶν ὁσιωτάτων καὶ γυναικῶν,
οἳ σκιρτῶντες ἀγάλλονται,
ἐν τῇ ᾿Εδὲμ νῦν πρεσβεύοντες ἐκτενῶς,
τῷ Κυρίῳ ὡς φιλάδελφοι.

Θεοχαρίτωτε Κόρη,
Πόντου βασίλισσα,
ἴδε ὅτι λυχνίαι,
᾿Εκκλησίας ἐκεῖθεν,
ἐσβέσθησαν,
οἷς κρίμασιν σὸς Υἱός,
οἶδε καὶ ἡ σκοτόμορφος,
πλάνη τῆς Ἄγαρ ἐκράτησεν, ἣν ταχύ,
ὡς ὁμίχλην διασκόρπισον.

Δόξα. Ἦχος πλ.β'.

Τὴν μακαρίαν χριστοπληθὺν τῶν ἐν Πόντῳ ῾Αγίων,
δεῦτε σήμερον πιστοὶ τιμήσωμεν·
τοὺς κλεινοὺς ᾿Αποστόλους, σὺν τῇ χορείᾳ τῶν Μαρτύρων,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τοὺς γενναιοψύχους Ὁμολογητὰς καὶ τῶν Ἱεραρχῶν τὸν πανέντιμον χορόν, ἅμα δὲ τοὺς ἰσαγγέλους ἀσκητὰς σὺν τοῖς ἐνδόξοις νεομάρτυσι.
Πρεσβυτέρους τε καὶ νεωτέρους, ἐπωνύμους καὶ ἀγνώστους, οἵτινες τὸν ζυγὸν τοῦ Εὐαγγελίου ἐβάστασαν πιστῶς, γενόμενοι ὁδηγοὶ τῆς Ἐκκλησίας καὶ σηματωροὶ τῆς οὐρανίου Σιών.
Τούτους εὐφημοῦντες εἴπωμεν·
δέξαι Κύριε, τὰς ἱκεσίας τῶν Ἁγίων σου,
καὶ δίδου ἡμῖν τὴν χαρὰν τῆς Βασιλείας σου.

Καὶ νῦν. Θεοτοκίον τοῦ ἤχου.
Εἴσοδος. Φῶς ἱλαρόν.
Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν.

## Ἀναγνώσματα
### Παροιμιῶν τὸ ἀνάγνωσμα

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν.
Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου.
Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων.
Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες.
Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.
Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα
καὶ συναχθήσονται ἐξ αὐτῶν.
Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν
καὶ εἰπάτωσαν ἀληθῆ.
Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι.
Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται.
Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα
καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος.
Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι
καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος.
Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό;
Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.
Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,
καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν
καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα.
Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν,
ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης.
Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται,
ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ.
Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα
θυσίας προσεδέξατο αὐτούς.
Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ὡς σπινθῆρες
ἐν καλάμῃ διαδραμοῦνται.
Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει
αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν,
καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ.
Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ
καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

*Στιχηρὰ ἰδιόμελα.*

Ἦχος α'.

Τῇ τοῦ Κυρίου ἐπιταγῇ ὑπακούσαντες,
τοῦ εἰπόντος· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη,
ὡς χριστόμβρητοι νεφέλαι τὸν κόσμον εὐπειθῶς διήλθετε,
ἅγιοι ᾿Απόστολοι ᾿Ανδρέα Πρωτόκλητε καὶ σύγγονε Πέτρε·
πρῶτοι γὰρ ὑμεῖς κατεβάλετε τὸ σπέρμα τῆς ἀθανασίας ἐν Πόντῳ,
ἐξ οὗ ἐβλάστησεν ἐν αὐτῷ ὡς δένδρον πολύκλαδον ἡ ᾿Εκκλησία
καὶ ἐξήγαγεν καρπὸν ζωῆς ἀληθοῦς,
τὴν πληθὺν τῶν παντοειδῶν ῾Αγίων,
μεθ᾽ ὧν πρεσβεύσατε τῷ Κυρίῳ,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ηχος β'.

Τὴν δαιμονικὴν ἀπάτην ἐξελέγξαντες,
καὶ τὴν τοῦ Χριστοῦ ἀλήθειαν ὁμολογήσαντες,
τῷ μαρτυρικῷ αἵματι ἐφοινίχθητε Μάρτυρες τοῦ Πόντου·
οὕτω δὲ στέφανον πολυανθῆ συγκροτήσαντες,
κατευωδιάζετε ἡμᾶς ταῖς τοῦ Πνεύματος μυροχοΐαις,
καὶ στηρίζετε εἰς τὴν ὁδὸν τῆς ἁγιότητος πάντας βοῶντες·
οὐδὲν γλυκύτερον τοῦ διὰ πάθους συνεῖναι Χριστῷ,
ὡς πείρᾳ ἡμεῖς μεμαθήκαμεν.

Ἦχος γ'.

Τῶν Ἀποστόλων τὴν πίστιν διδαχθέντες,
καὶ τῶν μαρτύρων τὴν ὁμολογίαν κρατήσαντες,
τὴν ἱερατικὴν ἁλουργίδα περιεβάλεσθε, Ἱεράρχαι τοῦ Πόντου.
Φῶς καὶ ἅλας ἐδείχθητε τοῖς χριστωνύμοις πιστοῖς,
καὶ ὡς κριοὶ ἐπίσημοι τῶν ποιμνίων θεοπρεπῶς προέστητε,
πάντας τροφοφοροῦντες τῷ Ἄρτῳ τῆς ζωῆς·
κατελίπετε δὲ ἡμῖν πνευματικὰς συγγραφὰς
ὡς Μωϋσῆς τὰς θεογράφους πλάκας,
καὶ τῷ βίῳ ὑμῶν τύποι τῶν προβάτων γεγόνατε,
δοξάσαντες ἐν πᾶσι τὸν ὑμᾶς δοξάσαντα Κύριον.

Ἦχος δ'.

Τῆς ἀσκητικῆς ζωῆς τὸν σταυρὸν ἐπ᾽ ὤμοις ἀναλαβόντες Ὅσιοι,
τὸ μαρτύριον τῆς συνειδήσεως ἄσβεστον ἐτηρήσατε ἐν Πόντῳ,
οὗ τὰς ὀπὰς καὶ τὰ σπήλαια ἐργαστήρια θεώσεως ἀνεδείξατε,
τὰ δὲ αὐχμώδη ὄρη σκηνὰς καὶ στάδια ἰσαγγέλων ἐποιήσατε·
ὅθεν τὸν Χριστὸν ὑπὲρ πάντα καὶ μόνον ἀγαπήσαντες,
καὶ Αὐτῷ νῦν συνόντες, μὴ ἐπιλάθεσθε ἡμῶν τρισμακάριοι,
ὅπως χαρίσηται ὡς ἀγαθός, τὴν δόξαν τὴν οὐράνιον.

Δόξα. Ἦχος πλ.α'.

Ὦ πατρὶς φιλόθεε καὶ ἁγιότροφεπ
ὦ χριστοσημείωτε καὶ θεοευλόγητε γῆ τοῦ Πόντουπ
οὐκ ἐπιλανθανόμεθά σου, τὰς οὐρανοδώρους εὐλογίας
μηρυκαστικῶς ἀναμιμνησκόμενοιπ
Πεσὼν γὰρ τῷ ἐδάφει σου ὁ λόγος τοῦ Κυρίου ὡς κόκκος σινάπεως,
ἑκατονταπλασίως ἐβλάστησεν πληθὺν ἁγιώνυμον καὶ
δυσεξαρίθμητον,
ἐξ Ἀποστόλων, Ἱεραρχῶν, Ὁσίων τε καὶ Νεομαρτύρων
συνισταμένην καὶ
ἧς ὡς Βασίλισσα προΐσταται ἡ Κεχαριτωμένη Δέσποινα
Σουμελιώτισσα.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τούτων ταῖς ἀκοιμήτοις πρεσβείαις, ἔλθοι αὖθις ἐπὶ σὲ ἡ εὐλογία τοῦ Κυρίου,῝Ος καὶ χαρίσαιτο ἡμῖν πλουσίαν τὴν Χάριν τοῦ Πνεύματος καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Μακαρίζομέν σε.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

τὸ α' στιχηρὸν ἀναστάσιμον καὶ εἶτα τῶν ῾Αγίων

*Στιχηρὰ προσόμοια. Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις ῾Αγίων Πόντου πληθύς,
᾿Ανδρέα Πέτρε σὺν ᾿Ακύλᾳ ἡ Πρίσκιλλα,
Γρηγόριοι ἱεράρχαι, καὶ Βασιλεῦ θαυμαστέ,
σὺν τῷ Βασιλείῳ ὁ Χρυσόστομος·
Φωκᾶ Κύρε Βλάσιε,
᾿Αττικὲ Θεοδόσιε,
Γεώργιέ τε Δόμνε καὶ ᾿Αθηνόγενες,
καὶ πρὸς τούτοις δὲ ᾿Αχταλείας Σωφρόνιος·
πάντες γὰρ ἐφωτίσατε,
προγόνους καὶ εἴξατε,
Εὐαγγελίου τῇ πίστει,
διὰ τοῦ θείου κηρύγματος·
Χριστὸν δυσωπεῖτε,
παρασχεῖν ἡμῖν πλουσίως,
τὸ μέγα ἔλεος.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Χαίροις Μαρτύρων Πόντου χορός,
σὺν Εὐγενίῳ οἱ κλεινοὶ Τεσσαράκοντα,
Θεόδωροι Βασιλίσκε,
καὶ Γυναικῶν ἡ ἑπτάς,
σὺν τῷ Εἰρηνάρχῳ, ὁ ᾿Αγάπιος,
᾿Ορέντιε πάντιμε, καὶ ἑξὰς αὐταδέλφων σου,
῾Υάκινθέ τε Ζωτικὲ καὶ Εὐτρόπιε,

www.tezaurliturgic.ro



Ἰορδάνη τε Συμεὼν νεομάρτυρες·
πάντες ἐκδυσωπήσατε,
Χριστὸν τὸν φιλάνθρωπον,
ὑπὲρ πατρίδος φιλτάτης,
καὶ τῶν οἰκείων τῆς πίστεως,
δοθῆναι ἐν τάχει,
τὴν χαρὰν τῆς Βασιλείας,
καὶ θεῖον ἔλεος.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.*

Χαίροις ὁσιακὲ μελισσών,
οἱ ἐν τῷ Πόντῳ τῇ ἀσκήσει ἐκλάμψαντες·
Χριστόφορε καὶ Βαρνάβα,
Σωφρόνιέ τε κλεινέ,
ὁ τοῦ Ἄθω στύλος Ἀθανάσιος·
Μακρῖνα Μελέτιε,
Ἐλισάβετ Δωρόθεε,
Ἡσύχιέ τε καὶ ὁ Νίκων ὁ ἔνδοξος,
Διονύσιε καὶ δυὰς ἡ Πετρώνυμος·
χεῖρας ὑψοῦτε ἅπαντες,
πρεσβείαν ποιούμενοι,
πρὸς τὸν Δεσπότην τῶν ὅλων,
ὑπὲρ Ποντίων φιλάδελφοι,
τοῦ δοῦναι ὑγείαν,
φωτισμὸν ψυχῶν εἰρήνην,
καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.δ'.

Τὸν νοητὸν φαραὼ καταποντίσαντες τῇ δυνάμει τοῦ σταυροῦ,
Ἅγιοι τοῦ Πόντου, ἐν ποικίλοις τρόποις ἐξηγιάσθητε·
καὶ ἐν ἑκάστῃ γενεᾷ φωστῆρες θεολαμπεῖς ἀναφανέντες,
ὡδηγήσατε τὰ πλήθη τῶν προγόνων ἡμῶν,
εἰς τὴν ἐπίγνωσιν τῆς ἐν Χριστῷ ἀληθείας.
Ὅθεν νῦν παριστάμενοι στεφανηφόροι αὐτῷ ἀκλινῶς,
πρεσβεύσατε δεόμεθα, ὅπως δωρήσηται ἡμῖν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν θείαν ἀγάπην, καὶ βασιλείαν τὴν οὐράνιον.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε.
Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.
Ἀπολυτίκιον ἀναστάσιμον.

Δόξα, τῶν Ἁγίων. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τοὺς ἐν Πόντῳ Ἁγίους συντιμήσωμεν ἅπαντες,
ὡς Εὐαγγελίου ἐργάτας, καὶ Χριστοῦ ἐκτυπώματα·
ὁμοῦ σὺν Ἀποστόλοις Ἀσκητάς, Μαρτύρων τὸν θεόστεπτον χορόν,
Ἱεράρχας Νεομάρτυρας ἱερούς, εὐφραντικῶς κραυγάζοντες·
δόξα τῷ ἁγιάσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι,
Ὃν ἱλεοῦσθε ἐκτενῶς, ὑπὲρ ἡμῶν μακάριοι.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι.

Καὶ ἀπόλυσι

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὴν α' καὶ β' στιχολογίαν, Καθίσματα ἀναστάσιμα.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Θεῖοι Ἀπόστολοι,
Μάρτυρες ἔνδοξοι,
Ἀρχιερεῖς σοφοί, Ὅσιοι τίμιοι,
καὶ Νεομάρτυρες κλεινοί,
οἱ Πόντου τὴν Ἐκκλησίαν,
θαυμαστῶς φαιδρύναντες,
καὶ Χριστῷ νῦν ἱστάμενοι,
ἐκτενῶς πρεσβεύετε,
δωρηθῆναι τοῖς μέλπουσιν,
ὑμῶν τὴν πανσεβάσμιον μνήμην,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εἰρήνην χαρὰν καὶ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παρθένε Ἄχραντε, Σουμελιώτισσα,
χορὸν παράλαβε, τὸν ἁγιώνυμον,
καὶ καθικέτευε Χριστόν,
ὑπὲρ εὐλαβῶν Ποντίων.
Ἐν τῇ πέτρᾳ στήριξον,
ἀληθείας τοὺς δούλους σου,
καὶ ἰδεῖν ἀξίωσον,
Βασιλείαν ἀσάλευτον,
παρέχουσα πλουσίως τὴν χάριν,
ἡμῖν ἐν βίῳ Παμμακάριστε.
*Εὐλογητάρια ἀναστάσιμα.*
*Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου.*
*Ἡ τάξις τοῦ ἑωθινοῦ εὐαγγελίου.*

*Κανόνες ὁ ἀναστάσιμος καὶ εἶτα τῶν Ἁγίων,*
*οὗ ἡ ἀκροστιχίς:*
**"Ἁγίων Πόντου ἡ πληθὺς ὕμνοις τιμάσθω. Ἀ(θανάσιος)".**

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.

Ἁγίων Πόντου τὴν πληθὺν τιμήσωμεν,
ἐν εὐφροσύνοις ᾠδαῖς,
γένος τῶν Ποντίων,
ὡς αὐτῶν βλαστήματα,
καὶ ὕμνον ἀναπέμψωμεν,
Τρισαγίῳ Δεσπότῃ,
τῷ θαυμαστῶς ἁγιάσαντι,
τούτους διαφόροις ἐν ἔτεσι.

Γνήσιοι ὄντες ἐν σαρκὶ αὐτάδελφοι,
Ἀνδρέα Πέτρε τε,
ἅμα τῷ Κυρίῳ,
κατηκολουθήσατε,

καὶ χάριν τὴν τοῦ Πνεύματος,
εἰληφότες ἐν Πόντῳ,
Εὐαγγελίου γεγένησθε,
κήρυκες καὶ θεῖοι ᾿Απόστολοι.

῾Ιερωτάτης ἐκλογῆς ἐτύχετε,
᾿Ακύλα Πρίσκιλλα,
σὺν τῷ Φιλολόγῳ,
καὶ πυρσοὶ ἐδείχθητε,
τοῦ Λόγου ἐν τοῖς ἔθνεσιν,
μεθ' ὧν Πόντος κομπάζει,
ὡς δεδεγμένος τὸ κήρυγμα,
δι' ὑμῶν τριὰς χριστοφόρητε.

Θεοτοκίον

῾Ως βασιλὶς τῶν οὐρανῶν Πανάχραντε,
οἰκεῖν ηὐδόκησας,
Σουμελᾶ τῷ ὄρει,
καὶ τὸν Πόντον ἅπαντα,
εἰκόνι σου ἡγίασας,
ἣν Λουκᾶς ἀριστόχειρ,
χρωματικῶς ἐζωγράφησεν,
καὶ τοῖς χριστωνύμοις κατέλιπεν.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Νοῦν Χριστοῦ εἰληφότες,
᾿Αρχιερεῖς τίμιοι,
Πόντον κατεφώτισαν λόγοις,
μεθ᾽ ὧν Γρηγόριοι,
καὶ οἱ Βασίλειοι,
σὺν τῷ κλεινῷ Χρυσοστόμῳ,
ὃς Κομάνοις εὗρατο,
θείαν ἀνάπαυσιν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πολυάθλως σφραγίσας,
τὴν βιοτὴν Βλάσιος,
καὶ ᾿Αθηνογένης ὁ θεῖος,
Δόμνος ὁ πάντιμος,
σὺν Γεωργίῳ τε,
καὶ τῷ κλεινῷ Σωφρονίῳ,
ἱεράρχαι ἔνδοξοι,
νῦν ἐπαγάλλονται.

Οἱ ποιμένες οἱ θεῖοι,
σὺν τῷ Φωκᾷ Φλῶρός τε,
Βασιλεὺς καὶ Μόδεστος Παῦλος,
ἐν Πόντῳ ἤνθησαν,
Στέφανος Κῦρός τε,
καὶ ᾿Ιωάννης ὁ μέγας,
Ζωτικὸς ὁ ἔνδοξος,
Χριστοῦ ἐπίσκοποι.

Θεοτοκίον

Νῦν κοράκων ἑστία,
καὶ τῶν στρουθῶν οἴκησις
ἡ περιφανής σου Παρθένε,
Μάνδρα κατήντησενπ
ἀλλ᾽ ἡ ἀνθρώπειον,
φύσιν ὑψώσασα πάλιν,
τὴν σκηνήν σου δύνασαι,
ὀρθῶσαι Δέσποινα.

Κάθισμα.
᾿Ηχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Τὸν ἐγκόσμιον πόντον φυγόντες ῞Αγιοι,
εὐσεβείας ταῖς πτέρυξιν ἐπετάσθητε,
καὶ ταῖς τοῦ Πνεύματος πνοαῖς ἀνηνέχθητε,
εἰς τὴν οὐράνιον χαρὰν τῆς βασιλείας τοῦ Θεοῦ,
ἔνθα μὴ παύσητε αἴρειν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

χεῖρας ὑμῶν πρὸς Δεσπότην,
ὑπὲρ Ποντίων ὡς φιλάδελφοι.

Δόξα, Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν ἐκ σοῦ γεννηθέντα Θεὸν πιστεύομεν,
ἐκ Πατρὸς ἀγεννήτου Λόγον συνάναρχον,
δυνάμει Πνεύματος Ἁγνὴ ὃ ἐπεσκίασεν,
σὺν τῇ φωνῇ τοῦ Γαβριὴλ ἐν σοὶ ὡς πάνυ καθαρᾷ·
τὴν δὲ σεπτήν σου εἰκόνα,
Σουμελιώτισσα Μῆτερ,
πιστῶς τιμῶμεν ἡμεῖς οἱ δοῦλοί σου.

Ὠιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.

Τυραννικὴν πτόησιν,
οὐκ ἐφοβήθητε,
τοῦ Κυρίου,
θεῖοι Τεσσαράκοντα,
ἀλλ᾽ εὐθαρσῶς,
τὴν εἰδωλικήν,
πλάνην καθελόντες,
ἐν λίμνῃ στέφος εἰλήφατε,
τὸ ψύχος ἐνεγκόντες,
δι᾽ ἀγάπην Κυρίου,
ὑφ᾽ οὗ πάντες νῦν ἄνω συνθάλπεσθε.

Οἱ εὐλαβεῖς εὗρόν σε,
μέγαν ὑπέρμαχον,
ἐν τῷ βίῳ
πάντιμε Εὐγένιε,
καὶ τοὺς σὺν σοί,
θείους ἀθλητάς,
ὅτε Τραπεζοῦντι,
Θεὸν Χριστὸν ἐκηρύξατε,
τοῦ κόσμου παντουργέτην,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὃν δεῖ πᾶς τις λατρεύειν,
καὶ τηρεῖν αὐτοῦ θεῖα ἐντάλματα.

Ὑφηγητὴς γέγονας,
μέγας Θεόδωρε
εὐσεβείας,
ὅτε ὡμολόγησας
τὸν Ἰησοῦν,
πάνυ εὐθαρσῶς,
καὶ τῷ αἵματί σου,
τὴν πίστιν τούτου ἐσφράγισας,
ὡς θεῖος Βασιλίσκος,
καὶ Κλεόνικος ἅμα,
σὺν κλεινῷ Εὐτροπίῳ ἐποίησαν.

Θεοτοκίον

Ἡ ἀσθενὴς Δέσποινα,
φύσις ἐξίαται,
τῶν ἀνθρώπων,
ὅτε Μήτηρ γέγονας
τοῦ Ἰησοῦ,
θείου ἰατροῦ,
ψυχῶν καὶ σωμάτων,
Ὧι πλήθη ὄπισθεν ἔδραμον,
καὶ τοῦτον ἐκ καρδίας,
ἀγαπήσαντες πόθῳ,
ὡμολόγησαν εἶναι Θεάνθρωπον.

Ὠιδὴ ε'. Ἱνατί με ἀπώσω.

Πολυάριθμον στίφος,
πρόκειται ἡμῖν εἰς θεῖον ἔπαινον,
ἐκ χριστοκαρδίων,
γυναικῶν καὶ ἀνδρῶν συνιστάμενον,
τῶν ἐν Σεβαστείᾳ,
ἀθλησασῶν μετὰ Βλασίου,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



καὶ Σινώπῃ δεχθέντων τὸν στέφανον.

Λύσσαν πλάνης δυσθέου,
ἅγιοι πεντάριθμοι συγκατεβάλετε,
μὴ δεχθέντες θῦσαι,
τοῖς κωφοῖς καὶ ματαίοις σεβάσμασι,
σὺν τῷ Εὐστρατίῳ,
καὶ Εὐγενίῳ ὁ Ὀρέστης,
Αὐξεντίῳ συνάμα Μαρδάριος.

Ἡ ὀσμὴ τῶν μαρτύρων,
γέγονε θυσία τῷ Θεῷ εὐπρόσδεκτος,
ἣν τῶν Ἑπταδέλφων,
ὁ ἑσμὸς ὁμοψύχως προσήνεγκεν,
ἅμα Ζωτικός τε,
Εἰρήναρχος σὺν Ἀγαπίῳ,
καὶ ὀκτὼ Σεβαστείας γεννήμασι.

Θεοτοκίον

Θαυμαστὴ ἡ ἀνδρεία,
γυναικῶν Θεοτόκε μαρτύρων πέφυκε,
ἄλλων Μυροφόρων,
αἳ τὸν Πόντον βαφαῖς ἐπορφύρωσαν,
ὡς ἡ Σινωπῖτις,
Ἑλένη θεία νεομάρτυς,
δι᾽ ἀγάπην Χριστοῦ τεθανάτωται.

Ὠιδὴ ϛ'. Ἱλάσθητί μοι, Σωτήρ.

Ὑπέρνεφον τὴν σεπτὴν,
εἰκόνα βλέποντες ἔφθασαν,
εἰς ὄρος τοῦ Σουμελᾶ,
Βαρνάβας Σωφρόνιος,
καὶ Μονὴν ἀνίδρυσαν,
μύσται Θεοτόκου,



ΑΘΘΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὧν διάδοχος Χριστόφορος.

Σεμνὴ τοῦ Χριστοῦ ἀμνάς,
Μακρῖνα ἔφυ ἡ πάνσοφος,
παρθένων σεπτῶν χορούς,
ἐν Πόντῳ συνάξασα,
καὶ ζωὴν ἰσάγγελον,
ζήσασα μετέστη,
πρὸς Σιὼν τὴν ἐπουράνιον.

Ὑψόθεν ἐπιλεγείς,
Νίκων ἐκ Πόντου ἀνέδραμε,
ἰσόβιον διδαχήν,
ἔχων ὡς ὁ Πρόδρομος,
τὸ μετανοήσατε,
καὶ πρὸς τὸν Δεσπότην
ἐπιστράφητε οἱ πταίσαντες.

Θεοτοκίον

Μητρόθεε εἰς τὸν σόν,
κλῆρον τοῦ Ἄθω ἀπέστειλας,
ἐκ Τραπεζοῦντος σοφόν,
μέγαν Ἀθανάσιον,
ὅστις ἐμεγάλυνε,
μοναζόντων βίον,
καὶ τὸ Ὄρος σου ἐδόξασε.

**Κοντάκιον.**

Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὡς ἀπαρχὴν δεδοξασμένην Κυρίῳ,
χορὸν Ἁγίων προσενήνοχε Πόντος,
ὧν σύναξιν εὐφρόσυνον τιμῶμεν εὐλαβῶς,
καὶ Χριστοῦ δεόμεθα·
ὡς Φιλάνθρωπος δέχου,
σῶν Ἁγίων δέησιν, καὶ Μητρός σου Παρθένου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν εὐλογίαν ἐπιχορηγῶν,
πᾶσι Ποντίοις,
τρισάγιε Δέσποτα.

**Ὁ Οἶκος**

Ὅτε ἀλήθειά σου, Κύριε, ἐπέλαμψεν ἐν Πόντῳ,
διὰ σοφοῦ κηρύγματος ἁγίων Ἀποστόλων,
τότε ἡ πλάνη πέφευγεν ὁρῶσα τοῦ Σταυροῦ σου θείαν ἰσχύν,
καὶ θαυμαστῶς ἐπληθύνθησαν τὰ ποίμνια τῶν Ἐκκλησιῶν,
ὧν θεοφιλῶς ποιμεναρχήσαντες σεπτοὶ Ἱεράρχαι,
ἐκαρποφόρησαν πλουσίως χοροὺς Μαρτύρων τε καὶ Ὁσίων,
συνισταμένους ἐξ ἀνδρῶν καὶ γυναικῶν χριστοκαρδίων.
Τούτους σὺν τοῖς κλεινοῖς σου Νεομάρτυσι
καὶ τῇ Σουμελιωτίσσῃ Παναχράντῳ σου Μητρὶ
πρέσβεις ὑπὲρ τοῦ κόσμου σήμερον προσάγομεν,
τὸ μέγα ἔλεός σου καὶ τὴν χάριν ἐξαιτούμενοι,
τρισάγιε Δέσποτα.

**Τὸ Συναξάριον**

**Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρώτῃ τοῦ Σεπτεμβρίου μηνός, τὴν Σύναξιν ἑορτάζομεν πάντων τῶν ἐν τῷ Πόντῳ εὐαρεστησάντων τῷ Θεῷ ἀπ᾽ αἰῶνος Ἁγίων.**

**Στίχοι**

*Ἀβρόχως Πόντον τὸν ὧδε διελθόντες*
*εἰς οὐρανὸν ᾤκησαν Ἅγιοι Πόντου.*
*Θηρὸς ποντίου νικηταὶ Χριστῷ Ἅγιοι σύνεισιν Πόντου.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός,**
**ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ζ'. Παῖδες ἑβραίων.

Νίκην ποθοῦντες ἐν Κυρίῳ,
ὁ ῾Ησύχιος καὶ Πέτρος τῆς ᾿Ατρῴας,
τὸν σταυρὸν ἀσκητῶν,
ἐβάστασαν ἐπ᾿ ὤμοις,
καὶ ᾿Ελισάβετ ἔνδοξος,
τῶν ὁσίων ὡραιότης.

῞Ολῃ ψυχῇ καὶ διανοίᾳ,
Διονύσιος ἠγάπησε Δεσπότην,
καὶ ἐξ ῎Αθω ἐλθών,
ἐν πόλει Τραπεζοῦντος,
μετέστη εἰς οὐράνια,
ἅπερ σφόδρα ἐπεπόθει.

῞Ινα δορὰν φθορᾶς ἐκβάλῃς,
ὦ Δωρόθεε ἀσκήσει ὑπεβλήθης,
καὶ τὸν νέον ᾿Αδάμ,
Χριστὸν ἐπενεδύθης,
ὡς ὁ κλεινὸς Μελέτιος,
Γαλησίου ὄρους δόξα.

## Θεοτοκίον

Στῆσον καὶ αὖθις Θεοτόκε,
τὸ σεμνεῖόν σου ἐν Σουμελᾷ τῷ ὄρει,
καὶ Προδρόμου μονήν,
τὴν ἐν τῷ Βαζελῶνι,
σὺν μάνδρᾳ Γεωργίου τε,
τῇ ἐν Περιστερεώτᾳ.
Ὠιδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Τῶν ἀρχαίων μαρτύρων θείαν δόξαν,
ἐπεπόθησεν,
Θεόδωρος γενναῖος,
τὸ ἐπίκλην Γαβρᾶς,

καὶ εἰληφὼς τὸ στέφος,
χαρὰ πιστῶν ἐγένετο,
καὶ Ποντίων θεῖος πρέσβυς.

Ἶρις δεῦτε ὁ ποταμὸς λεγέτω,
κατορθώματα,
μεγάλου Βασιλείου,
ὃς ἀσκήσας ἐκεῖ,
σὺν θείῳ Γρηγορίῳ,
τοῖς μονασταῖς κατέλιπε,
διδαχὰς τὰς θεοπνεύστους.

Μακαρία Γρηγόριε ἡ δόξα,
ἥν σοι δέδωκεν,
Ἀρχιερεὺς ὁ μέγας·
καὶ θαυμάτων ἰσχύς,
ἐκπλήττει τοὺς ἀνθρώπους,
ἃ εἰς Νεοκαισάρειαν,
ἐπετέλεσας ἀφθόνως.

Θεοτοκίον

Ἄγαρ σκότος ἐκάλυψε τὸν Πόντον,
Θεονύμφευτε,
νεφέλη φωτοφόρε·
ὅθεν δίδου τὸ φῶς,
τοῖς ἐν κρυπτῷ τὴν πίστιν,
τοῦ Ἰησοῦ φυλάττουσι,
καὶ εἰκόνα σου τιμῶσι.

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Σεβάστεια Σινώπη καὶ Τραπεζοῦς,
Ἀμισός τε Ἀμάσεια Κόμανα,
Κασταμονή,
ἡ Νεοκαισάρεια καὶ Σαμψοῦς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νικόπολις καὶ ἅπασα,
οἴκησις τοῦ Πόντου ἀπὸ ψυχῆς,
δέονται τοῦ Δεσπότου·
λυχνίας ἐσβεσμένας,
Ἐκκλησιῶν σου πάλιν ἄναψον.

Θυσίας τῶν Ἁγίων παντοειδεῖς,
τῶν ἐν Πόντῳ προσδέχου Φιλάνθρωπε,
καὶ τὰς ψυχάς,
ἀποβιωσάντων ἐν διωγμοῖς,
γονέων φίλων τέκνων τε,
ἐν σκηναῖς δικαίων καὶ ἀγαθῶν,
ἀνάπαυσον καὶ δίδου,
αὐτοῖς τὴν θείαν δόξαν,
καὶ εὐφροσύνην σου αἰώνιον.

Ὡς πάλαι Ἰουδαῖοι ἐν ποταμῷ,
Βαβυλῶνος καθήμενοι ἔκλαιον,
πτῶσιν Σιών,
οὕτω καὶ Ποντίων αἱ πατριαί,
μακρὰν πατρίδος Δέσποτα,
τῆς ἁγιοτρόφου θρῆνον πικρόν,
ποιούμεθα αἰτοῦντες·
πατρίδος ἀσαλεύτου,
πολίτας δεῖξον τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον

Ἁγνὴ Σουμελιώτισσα τοὺς χορούς,
τῶν ἐν Πόντῳ Ἁγίων παράλαβε,
καὶ τῷ Χριστῷ,
δέησιν ποιήσατε ἐκτενῆ,
ὅπως ὑμῶν τὴν σύναξιν,
πόθῳ ἑορτάζωμεν καὶ χαρᾷ,
καὶ τῶν μονῶν τῶν ἄνω,
γενόμενοι πολῖται,
τῆς θείας δόξης συμμετάσχωμεν.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ἐξαποστειλάρια**

*Τὸ ἀναστάσιμον καὶ τῶν Ἁγίων, ὅμοιον.*

Ἦχος β'. Τοῖς μαθηταῖς συνέλθωμεν.

Χαῖρε πατρὶς χριστώνυμε,
ἡ γεννήσασα πλῆθος,
Ἁγίων καὶ ἐκθρέψασα,
ὧν τὴν σύναξιν ταύτην,
χαρμονικῶς ἐκτελοῦμεν,
καὶ δεόμεθα πόθῳ,
ὅπως αὐτῶν δεήσεσι,
συμμεθέξωμεν πάντες ἐν οὐρανοῖς,
δόξης αἰωνίου καὶ ἀκηράτου,
καὶ τὸν Χριστὸν ὀψόμεθα,
τῶν ἐσόπτρων λυθέντων.

Θεοτοκίον, ὅμοιον, τὸ τῆς Ὀκτωήχου.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ψάλλομεν στιχηρὰ προσόμοια δ' ἀναστάσιμα καὶ δ' τῶν Ἁγίων.
Ἦχος πλ.δ'. Ὤ! τοῦ παραδόξου θαύματος.

Ὅτε Ἀνδρέα Πρωτόκλητε,
μετὰ τοῦ σοῦ ἀδελφοῦ,
ἐν τῷ Πόντῳ ἐσπείρατε,
θεῖον Εὐαγγέλιον,
πλάνη πᾶσα ἐλήλαται,
καὶ τῷ Κυρίῳ υἱοθετήθησαν,
Ποντίων γένη διὰ βαπτίσματος·
ἐξ ὧν ἐβλάστησεν,
πλῆθος ἁγιώνυμον οὗ ἐν χαρᾷ,
σύναξιν τὴν πάντιμον,
πανηγυρίζομεν.

Μαρτύρων θείων τοῖς αἵμασιν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κατεποτίσθη καλῶς,
θεοφύτευτος ἄμπελος,
καὶ ἐκαρποφόρησεν,
τὸν γλυκὺν οἶνον πίστεως,
ὃν ἐκπιόντες Ὁσίων τάγματα,
Χριστοῦ ὀπίσω,
προθύμως ἔδραμον,
καὶ κατεσκήνωσαν,
ὡς στρουθοὶ φιλέρημοι ἐν ταῖς ὀπαῖς,
Πόντου ἁγιάσαντες,
τοῦτον οἱ πάντιμοι.

Ἱεραρχῶν θεῖος θίασος,
ἀρχιθυτῶν τοῦ Χριστοῦ,
Ἐκκλησίας προέστητε,
Πόντου καὶ ἐθρέψατε,
τὸν λαὸν τῷ κηρύγματι·
καὶ θαυμασίοις τοῦτον εἱλκύσατε,
πρὸς τὴν ἀγάπην
τοῦ θαυμαστώσαντος,
καὶ ἀξιώσαντος,
ὑμᾶς πάσης χάριτος θεοειδοῦς,
ἧς μικρὰν ἀπόμοιραν,
ἡμῖν δωρήσασθε.

Οἷς οἶδε Κύριος κρίμασι,
σκότος καλύπτει φρικτόν,
πάντα Πόντον φιλόθεον,
ᾧ κατεμαχήσαντο,
Νεομάρτυρες ἔνδοξοι,
πλάνην Μωάμεθ ἐκμυκτηρίσαντες,
καὶ ἀδυνάτων,
πόδας στηρίξαντες.
Τούτων δεήσεσιν,
καὶ Μητρός σου Δέσποτα,
πλάνης ἡμᾶς,
λύτρωσαι καὶ ποίησον,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



υἱοὺς φωτός σου ἁγνούς.

Δόξα. Ἦχος πλ.δ'.

Ὡς ξένοι καὶ πάροικοι βιώσαντες ἐν Πόντῳ,
νῦν οὐρανοῦ σκηνώμασιν ἐπαναπαύεσθε Ἅγιοι·
ἐκ γένους, πολιτείας καὶ τρόπων διαφόρων ὁρμηθέντες,
ἐν Κυρίῳ ἡνώθητε διὰ χριστοειδοῦς διαγωγῆς.
Πρεσβύτεροι πολιοὶ καὶ νεώτεροι σώφρονες,
ἄνδρες θεόνοες καὶ γυναῖκες ἀνδρειόψυχοι,
πάντες ἐνδυσάμενοι τὴν καινότητα τοῦ Πνεύματος,
τὸ στέφος εἰλήφατε τῆς ἐν Χριστῷ καλῆς μαρτυρίας.
Ὅθεν ὡς παῤῥησίαν κεκτημένοι μνήσθητε δεόμεθα,
τῶν τιμώντων τὴν ἱερὰν ὑμῶν σύναξιν.

Καὶ νῦν. Ὑπερευλογημένη.

## Μεγαλυνάριον

Χαίρετε Ἁγίων ὁ μελισσών, οἱ τὸν Πόντον πάντα, ἁγιάσαντες θαυμαστῶς, Ἀποστόλων στίφος, χορὸς σεπτῶν Ποιμένων, Μάρτυρες Ὅσιοί τε καὶ Νεομάρτυρες.

Στίχοι

*Βίου παρόντος διαπλέουσι πόντον*
*ἡμῖν συμπλεύσατε, ὦ Ἅγιοι Πόντου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ